# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

## 19-11-2024 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΗΧΟΣ ΠΛ. Α'

† Μνήμη Μνήμη τοῦ Ἁγίου Προφήτου Ἀβδιοῦ

† Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βαρλαάμ.

Ἦχος Δι




Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄

## Ἀπολυτίκιον τοῦ Τιμίου Προδρόμου. Ἦχος β

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... (Τὸ ὡς ἄνω)




υ περ α θλη σας χαι αι αι αι ρων ευ ηγ γε
λι σω και τοις εν Α δη Θε ον φα νε ρω
θεν τα εν σαρ κι τον αι ρον τα την α
μαρ τι αν του κο σμου και πα ρε χον τα η
μιν το με γα ε ε ε λε ος

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

## Καὶ νῦν... *Θεοτοκίον*

*Τῇ Τρίτῃ πρωΐ.*

*Εἰς τό, Θεὸς Κύριος, Ἦχος β'.*

**Θ**είας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς Θεοτόκε μεγαλύνομεν.

*Ἦχος Δι*



Τρίτη πρωΐ.

Ἦχος δ΄.

Μετὰ τὴν α΄ Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Τὴν ταπεινήν μου ψυχήν, ἐπίσκεψαι Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν, ὃν τρόπον τὴν Πόρνην, δέξαι κᾀμέ, καὶ σῶσόν με.

Ἦχος Δι




Στιχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Διαπλέων τὸ πέλαγος τῆς παρούσης ζωῆς, ἐνθυμοῦμαι τὴν ἄβυσσον τῶν πολλῶν μου

κακῶν, καὶ μὴ ἔχων τὸν κυβερνήτην λογισμόν, τὴν τοῦ Πέτρου σοι προσφθέγγομαι φωνήν. Σῶσόν με Χριστέ, σῶσόν με, ὡς φιλάνθρωπος.




**Δόξα... Καὶ νῦν...** *Θεοτοκίον*

Τὸν Λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.



ον η μων εκ σου σαρ κω θεν τα ε γνω μεν

Θε ο το ο κε Παρ θε νε μο νη α γνη μο

νη ευ λο ο γη με νη δι ο α πα αυ

στως σε α νυ μνουν τες με γα λυ νο μεν

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄

## Μετὰ τὴν β΄ Στιχολογίαν
## ἕτερα Καθίσματα. Ἦχος δ΄.

Ἐννοῶν τὸ πέλαγος τῶν πολλῶν μου πταισμάτων, οὐ τολμῶ ἀτενίσαι, καὶ αἰτῆσαι τὴν συγχώρησιν, ἀλλὰ δός μοι κατάνυξιν πρὸς μετάνοιαν, Κύριε καὶ σῶσόν με.

Ἦχος Δι




Στιχ. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ

Τῇ ἀχλύϊ τῶν παθῶν, καὶ τῶν τοῦ βίου ἡδονῶν, σκοτιζόμενος ὁ νοῦς, τῆς ταλαιπώρου μου ψυχῆς, πρὸς λογισμὸν κατανύξεως οὐκ

ἔρχεται, ἀλλ᾽ οἴκτειρον Σωτήρ, κᾀμὲ τὸν δείλαιον, καὶ δός μοι λογισμὸν κατανύξεως, ἵνα κᾀγὼ πρὸ τέλους ἐκβοήσω, τῇ εὐσπλαγχνίᾳ σου Κύριε, Χριστὲ Σωτήρ μου, ἀπεγνωσμένον, σῶσόν με τόν ἀνάξιον.

Δόξα... Καὶ νῦν... *Θεοτοκίον*

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Χαῖρε ἀδύτου φωτὸς Νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις, τῆς δόξης τὸν Κύριον.




*Μετὰ τὴν γ΄ Στιχολογίαν*

*Καθίσματα ἕτερα.*

*Ἦχος δ΄. Ταχὺ προκατάλαβε*

Τρυγὼν ἡ φιλέρημος, ὁ ἱερὸς Βαπτιστής, κηρύξας μετάνοιαν, καὶ φανερώσας Χριστόν, γενόμενον ἄνθρωπον, πάντων ἁμαρτανόντων, ἐγεννήθη προστάτης, πᾶσι χειμαζομένοις

βοηθῶν ἀενάως. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, σῶσον τὸν κόσμον σου.

Μαρτυρικὸν

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Σταυρὸν ὁπλισάμενοι, οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες, νέμουσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ἡ μόνη κυήσασα, τὸν ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ, στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, ὃν ἐσωμάτωσας.

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμός

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν Κατανυκτικὸς

Ὠδὴ α΄. Ἦχος δ΄.

Ὁ Εἱρμός.

Ὁ πατάξας Αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον, βυθίσας ἐν θαλάσσῃ, λαὸν διέσωσας δουλείας, Μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Κεκρυμμένως πράττοντα, ἔργα τοῦ σκότους Κύριε, μὴ φανερῶς ἐλέγξῃς, μὴ στηλιτεύσῃς ἐπὶ πάντων, ἀλλὰ φωτὶ λάμπρυνον γνησίας μετανοίας, Σωτὴρ καὶ σῶσόν με.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἁμαρτίας πάντοτε, ἐφ΄ ἁμαρτίας Δέσποτα, ὁ ἄσωτος συνάπτω, καὶ οὐκ αἰσθάνομαι τοῦ φόβου, τοῦ σοῦ ποτὲ Κύριε· διό με πρὸ τοῦ τέλους σῶσον, οἰκτείρησον.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν Σκηνὴν τὴν ἄχραντον, καὶ κιβωτὸν καὶ τράπεζαν, τὸ ὄρος οὗ ἐτμήθη, ἄνευ χειρὸς ἀνθρώπου, λίθος ὁ τοῦ παντὸς Κύριος, Μαρίαν τὴν Παρθένον, ὕμνοις τιμήσωμεν.

Ἕτερος κανὼν τοῦ Προδρόμου,

Ὠδὴ α΄

Ἦχος δ΄. Τριστάτας κραταιούς...

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς μέγιστος ἀστήρ, τοῦ Ἡλίου προτρέχων, κατεφώτισας τὴν γῆν, ταῖς λάμψεσι ταῖς σαῖς, Βαπτιστά· ὅθεν κράζω σοι· Φώτισόν μου τὴν καρδίαν, ταῖς δειναῖς ἀμαυρότησι, τῶν ἀπείρων πταισμάτων τυφλώττουσαν.

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Διέλυσας ποτέ, ἐν τῷ τίκτεσθαι μάκαρ, τῆς στειρώσεως δεσμά· διό σε δυσωπῶ, τὴν ἀκάρπως στειρεύουσαν, πάθεσι ψυχήν μου δεῖξον, ταῖς εὐχαῖς σου κατάκαρπον, ἀρετῶν εὐτεκνίαν προσφέρουσαν.

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ηὐτρέπισας ὁδόν, Ἠλιοὺ ἐν δυνάμει, προελθὼν τῷ Λυτρωτῇ, πρὸς ὅρμον τῆς ψυχῆς, τὰς κινήσεις κατεύθυνον, σκῶλον ἅπαντα καί, λίθον, ἐμπαθείας ἀοίδιμε, Βαπτιστὰ ὑπεξαίρων πρεσβείαις σου.

## Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νεφέλη φωτεινή, τῆς ψυχῆς μου τὰ νέφη, τὰ πολλὰ καὶ χαλεπά, ταῖς σαῖς φωτιστικαῖς μεσιτείαις διάλυσον· ὅπως ἴδω τὰς ἀκτῖνας, τοῦ ἐκ σοῦ ἀνατείλαντος, καὶ φωτὶ φῶς προσλάβωμαι ἄδυτον.

Ὁ Κανὼν τοῦ Μάρτυρος,
ᾨδὴ α΄. Ἦχος δ΄
Ἄσομαί σοι Κύριε ὁ Θεός μου

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς τῆς σῆς ἀθλήσεως λαμπηδόσι, περιλαμπόμενος ἡμᾶς, τοὺς πίστει τιμῶντας, τὴν μνήμην σου περίσῳζε, Βαρλαὰμ ταῖς πρεσβείαις σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τὸ πῦρ μαράνας τῆς ἀσεβείας, θεοσεβείας ἀκριβοῦς, πυρὶ θεοπνεύστῳ, τιμάσθω μελῳδήμασι, Βαρλαὰμ ὁ θαυμάσιος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπὲρ τῆς εὐσεβείας ἠγωνισμένος, στεφανηφόρε Βαρλαάμ, στεφάνῳ τῆς δόξης νῦν, ἀξίως τετίμησαι, δεξιᾷ, παντοκράτορι.

Δόξα...

Σθένος σοι δεδώρηται ὁ Δεσπότης, κατὰ ποικίλων αἰκισμῶν, Πανόλβιε Μάρτυς, ἐντεῦθεν καὶ νενίκηκας, τῶν ἀθέων τὸ φρύαγμα.

Καὶ νῦν... Θεοτοκίον

Κλῖμαξ ἐδείχθης οὐρανομήκης, δι΄ ἧς ὡμίλησεν ἡμῖν, ὁ Λόγος Παρθένε, ἣν πάλαι προεώρακεν, Ἰακὼβ ὁ προπάτωρ σου.

Κανὼν Κατανυκτικός,
Ὠδὴ γ΄.
Ἦχος δ΄. Ὁ Εἱρμὸς

Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου, ὅτι οὐκ ἔστιν Ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ τῶν τυφλῶν τὰ ὄμματα φωτίσας, τοὺς ὀφθαλμούς μου φώτισον, ἐσκοτισμένους ταῖς ἡδοναῖς, καὶ τοῦ βίου ταῖς φροντίσι, καὶ μηδαμοῦ τοῖς κρίμασι, τοῖς σοῖς ἀτενίζοντας.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἴδε καιρός, ἀνάνηψον ψυχή μου, ἐκ τῶν κακῶν ὧν ἔπραξας, καὶ τῷ Δεσπότῃ καὶ λυτρωτῇ, ἀναβόησον ἐν φόβῳ· Τῆς μετανοίας πύλας μοι, Χριστέ, ἀναπέτασον.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν προπατόρων ἔλυσας τὴν λύπην, χαρὰν ἡμῖν κυήσασα, τὸν ζωοδότην, καὶ Λυτρωτήν, Παναγία Θεοτόκε, ὃν ἐκτενῶς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κανὼν τοῦ Προδρόμου, Ὠδὴ γ´
Ἦχος δ´
Τόξον δυνατῶν ἠσθένησε.

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πᾶσαν ἀρετὴν ἐξήσκησας, πᾶσαν ἁμαρτίαν ἀπὸ καρδίας ἐμίσησας, καὶ τὴν τρίβον τῆς μετανοίας, τοῖς ἀνθρώποις μάκαρ ἔδειξας.

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λόγου σαρκωθέντος Προδρομος, μέγιστος ἐδείχθης, καὶ διὰ τοῦτο σοῦ δέομαι, τῶν ἀλόγων παθῶν με ῥῦσαι, ὁδηγῶν με πρὸς μετάνοιαν.

Στίχ. Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔτι ἐνδημῶν τῷ σώματι, βίον Ἀσωμάτων ἐπεδείκνυσο Πρόδρομε, ὃν μιμεῖσθαι ἡμᾶς εὐχαῖς σου, ἐνδυνάμωσον δεόμεθα.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Κόσμος διὰ σοῦ ἠλέηται, ὁ τῇ παραβάσει ἀχρειωθεὶς Μητροπάρθενε· διὰ τοῦτο ᾠδαῖς ᾀσμάτων, κατὰ χρέος μακαρίζει σε.

Κανὼν β΄, Ὠδὴ γ΄, τοῦ Μάρτυρος
Ἦχος δ΄
Τόξον δυνατῶν ἠσθένησε

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἅπας τῆς σαρκὸς ὁ σύνδεσμος, καὶ ἡ ἁρμονία σοῦ τῶν μελῶν διελύετο, ἀλλ᾽ ὁ τόνος διετηρεῖτο, τῆς ψυχῆς σου ἀδιάρρηκτος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥύμην εὐσθενῶς ὑπήνεγκας, τῶν διορυττόντων σοῦ τὰς πλευρὰς Παναοίδιμε, καρτερίαν ἀκμαιοτάτην, σταθερῶς ἐπιδειξάμενος.

Δόξα...

Τίς σου τὸ στερρὸν καὶ εὔτονον, καὶ τῆς διανοίας τὸ ἀκατάπληκτον φρόνημα, τοῖς ἐπαίνοις ἐγκωμιάσει, κατ᾽ ἀξίαν Παμμακάριστε;

Καὶ νῦν... Θεοτοκίον

Ἔστη τῆς φθορᾶς ὁ θάνατος, τῆς ἐνυποστάτου διὰ σαρκὸς ζωῆς Πάναγνε, τοῖς ἀνθρώποις φανερωθείσης, ἐκ γαστρός σου θεονύμφευτε.

## Ὠδὴ γ', τοῦ Μηναίου

## Ὁ Εἱρμὸς. Ἦχος δ'

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Ἦχος λέγετος



Καθισμα τοῦ Προφήτου

Ἦχος α΄. Τὸν τάφον σου, Σωτὴρ

Ὁ μέγας Ἀβδιοὺ, ἐπιλάμψεσι θείαις, τὸν νοῦν φωτοειδῆ, κεκτημένος θεσπίζει, τὰ μέλλοντα Πνεύματι, τῷ Ἁγίῳ φθεγγόμενος, τοῦτον σήμερον, εὐσεβοφρόνως τιμῶντες, ἐκτελέσωμεν, τὴν ἱερὰν αὐτοῦ μνήμην, καρδίας φωτίζουσαν.

Δόξα... Τοῦ Μάρτυρος

Ἦχος δ΄ Ὁ ὑψωθεὶς

Ὡς στρατιώτης τοῦ Χριστοῦ ἀκατάπληκτος, καὶ τροπαιοῦχος ἀληθὴς καὶ ἀήττητος, τῶν ἀθλητῶν τὸ καύχημα Πανένδοξε, στέφος τὸ ἀμάραντον, οὐρανόθεν ἐκτήσω, χαίρων σὺν Ἀγγέλοις δέ, καὶ χορεύων ἀπαύστως, ταῖς σαῖς πρεσβείαις σῷζε τοὺς πιστῶς, ἀνευφημοῦντας τὴν θείαν σου ἄθλησιν.

Καὶ νῦν ... Θεοτοκίον

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τὶς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ὠδὴ ϛ΄.

## Ἦχος δ΄ Ὁ Εἱρμὸς

Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης Ἰωνᾶς, ἐν τῷ κήτει δεόμενος· Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.



## Κοντάκιον

### Τῇ Τρίτῃ, τοῦ Προδρόμου

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

## Συναξάριον

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου προφήτου Ἀβδιού.

### Στίχοι

Ἔφησεν ἂν τι μέλλον Ἀβδιοὺ πάλιν,
Εἰ μὴ τελευτὴν εἶχεν αἰδεῖσθαι τάχα.
Ἐννεακαιδεκάτῃ βίον Ἀβδιοὺ ἐξεπέρησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βαρλαάμ.

### Στίχοι

Σὺν λιβανωτῷ, Βαρλαάμ, τὸ πῦρ φέρων,
Εὔοσμος ὤφθης λιβανωτὸς Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἄζη τοῦ Θαυματουργοῦ.

### Στίχοι

Διψητικὴ τις ὡς ἔλαφος εἰς ὕδωρ,

Ἄζης ὁ Μάρτυς ἔτρεχε πρὸς τὸ ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι ἑκατὸν πεντήκοντα στρατιῶται ξίφει τελειοῦνται.

Στίχοι

Τετμημένας τρεῖς, Χριστέ, πεντηκοντάδας,
Τριττῇ στεφῶν γέραιρε πεντηκοντάδι.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δώδεκα στρατιῶται ξίφει τελειοῦνται.

Στίχοι

«Στρατεύομαί σοι σήμερον διὰ ξίφους»,
Τῷ Παμβασιλεῖ δωδεκὰς στρατοῦ λέγει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαπίου.

Στίχοι

Κἂν ἐσπαράχθην Ἀγάπιος θηρίοις,

τὴν πίστιν ἀσάλευτός εἰμὶ σοι, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἡλιοδώρου, τοῦ ἐν Μαγιδῷ τῆς Παμφυλίας.

Στίχοι

Ἡλιόδωρος Χριστὸν Ἥλιον βλέπων,
Ἀνώτερος πέφηνε βασάνων σκότους.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἀνθίμου, Θαλλελαίου, Χριστοφόρου,

Εὐφημίας καὶ τῶν τέκνων αὐτῶν, καὶ τοῦ Ἁγίου Παγχαρίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ η΄.

### Ἦχος δ΄. Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Τὸν ἐν καμίνῳ τοῦ πυρός, ἐν Βαβυλῶνι τοὺς παῖδας τῶν Ἑβραίων, διασώσαντα Θεόν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### Ἦχος ϛτος



# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄

Τιμιωτέρα τετάρτου ἦχου.

Τιμιωτέρα Ἦχος λ πα



τα πει νω σιν της δου λης αυ του ι δου
γαρ α πο του νυν μα κα ρι ου σι με πα
σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν

Στίχος γ' Ο τι ε ποι η σε μοι με γα
λει α ο δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος δ' Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος ε' Κα θει λε δυ να στας α πο θρο

νων και υ ψω σε τα πει νους πει νων τας ε

νε πλη σεν α γα θων και πλου του ουν τας ε

ξα πε στει λε κε νους

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος στ' Ἀν τε λα βε το Ισ ρα ηλ παι

δος αυ του μνη σθη ναι ε λε ους κα θως

ε λα λη σε προς τους πα τε ρας η μων

τω Α βρα αμ και τω σπερ μα τι αυ του ε

ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βιμ

και εν δο ξο τε ραν α συγ κρι τως των

Σε ρα φιμ την α δι α φθο ρως Θε ον

Λο γον τε κου σαν την ον τως Θε ο το κον




Εἶτα ψάλλεται ἡ θ' ᾠδὴ τοῦ Μηναίου

Ἦχος δ'.

Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος λ̓ γ τος



Ἦχος λ τος Βου

Ἄ ξι ον ε στιν ως α λη θως μα κα
ρι ζειν σε την Θε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων τη τι μι ω
τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ο ον Λο ο γον τε κου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο με ε ε ε εν

# ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Τῇ Τρίτῃ:

Ἦχος γ´. Ὁ οὐρανὸν τοῖς ἄστροις

Τὸν Πρόδρομον Ἰωάννην , καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν Προφήταις Προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον Ὅμοιον

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

# ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

ᾌσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας……

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

## ΑΠΟΣΤΙΧΑ ΤΩΝ ΑΙΝΩΝ

### Κατανυκτικά.

### Ἦχος δ΄

Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω, τὸν Ποιμένα τὸν καλόν. Ζήτησόν με τὸν πλανηθέντα ὁ Θεός, καὶ ἐλέησόν με.




Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ΄ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ζάλη ἁμαρτημάτων περιέχει με Σωτήρ, καὶ

μὴ φέρων τὸν κλύδωνα, σοὶ προσπίπτω τῷ μόνῳ Κυβερνήτῃ, ὡς τῷ Πέτρῳ τὴν χεῖρά μοι ἔκτεινον, τῆς φιλανθρωπίας σου, καὶ σῶσόν με.




Μαρτυρικὸν

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἀγγέλων συμμέτοχοι, γεγόνατε ἅγιοι Μάρτυρες, ἐν σταδίῳ τὸν Χριστὸν ἀνδρείως κηρύξαντες· πάντα γὰρ τὰ ἐν κόσμῳ κατελίπατε τερπνά, ὡς ἀνύπαρκτα, τὴν πίστιν δὲ ὡς ἄγκυραν ἀσφαλῆ ἐκρατήσατε· ὅθεν καὶ

τὴν πλάνην, ἀπελάσαντες, πηγάζετε τοῖς πιστοῖς ἰαμάτων χαρίσματα, ἀπαύστως πρεσβεύοντες, σωθῆναι τὰς ψυχὰς ἡμῶν.






## Δόξα... Καὶ νῦν...

### Ἦχος δ΄. Θεοτοκίον

Θεοτόκε Παντάνασσα, τῶν Ὀρθοδόξων τὸ καύχημα, αἱρετικῶν τὰ φρυάγματα, καὶ τὰ πρόσωπα καταίσχυνον, τῶν μὴ προσκυνούντων, μηδὲ τιμώντων, Πάναγνε, τὴν σεβάσμιον εἰκόνα σου.



Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον τοῦ Τιμίου Προδρόμου.

### Ἦχος β

**Μ**νήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.



υ περ α θλη σας χαι αι αι αι ρων ευ ηγ γε

λι σω και τοις εν Α δη Θε ον φα νε ρω

θεν τα εν σαρ κι τον αι ρον τα την α

μαρ τι αν του κο σμου και πα ρε χον τα η

μιν το με γα ε ε ε λε ος

**Δ**όξα... **Κ**αὶ νῦν ...

Τῇ Τρίτῃ πρωΐ

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

**Σ**ὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις, τῆς δόξης τὸν Κύριον.

Ἦχος Δι

**Σ**ε με γα λυ υ νο μεν Θε ο το κε

βο ω ων τες χαι ρε α δυ του φω τος νε φε

ε ε ε λη αυ τον βα στα σα σα εν κο ολ

ποις σου της δο ξης τον Κυ υ ρι ο ο ον

## 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

Εἰς τὴν Θείαν Λειτουργίαν

### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος λ π Νη




### ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Α΄

## Ἀντίφωνο Α΄

Ἦχος Δι




τερ σω σον η μας
Στιχ. γ'
Ο τι ευ φρα νας με Κυ ρι ε
εν τοις ποι η μα σι σου και εν τοις ερ
γοις των χει ρων σου α γαλ λι α σο μαι
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Στιχ. δ'
Ο τι ευ θυς Κυ ρι ος ο Θε
ος η μων και ουκ ε στιν α δι κι α
εν αυ τω
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

## Δόξα Πατρὶ...Καὶ νῦν...




### Ἀντίφωνο Β'

Ἦχος Δι



Στιχ. β΄ Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στιχ. γ΄ Θαυ μα στοι οι με τε ω ρι
σμοι της θα λασ σης θαυ μα στος εν υ ψη
λοις ο Κυ ρι ος

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στιχ. δ΄ Τα μαρ τυ ρι α σου ε πι


στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

## Ἀντίφωνο Γ'
## Ἦχος Δι

Στιχ. α' Δευ τε α γαλ λι α σω με θα
τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω
τω Σω τη ρι η μων
Σω σον η μας Υι ε Θε ου ο
εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α

Στιχ. β' Προ φθα σω μεν το προ σω πον αυ
του εν ε ξο μο λο γη σει και εν ψαλ
μοις α λα λα ξω μεν αυ τω
Σω σον η μας Υι ε Θε ου ο


εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α
Στχ. γ΄ Ο τι Θε ος με γας Κυ ρι ος
και βα σι λευς με γας ε πι πα σαν την
γην
Σω σον η μας Υι ε Θε ου ο εν
Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη
λου ι α α α α

## Εἰσοδικό

Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου
ο εν Α γι οις θαυ μα στος ψαλ λον τας
Σοι αλ λη λου ι α

## Ἀπολυτίκιον τοῦ Τιμίου Προδρόμου. Ἦχος β

**Μ**νήμη δικαίου μετ΄ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Μνη μη Δι και αι ου μετ εγ κω μι ων
σοι δε αρ κε σει η μαρ τυ ρι α του Κυ ρι ου

Προ δρο με α νε δει χθης γαρ ον τως και

Προ φη των σε βα σμι ω ω τε ρος ο τι και

εν ρει θροις βα πτι σαι κα τη ξι ω θης τον

κη ρυτ το με νον ο θεν της α λη θει ας

υ περ α θλη σας χαι αι αι αι ρων ευ ηγ γε

λι σω και τοις εν Α δη Θε ον φα νε ρω

θεν τα εν σαρ κι τον αι ρον τα την α

μαρ τι αν του κο σμου και πα ρε χον τα η

μιν το με γα ε ε ε λε ος

Ἀπολυτίκιον τοῦ Ναοῦ.

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄

## Κοντάκιον

### Τῇ Τρίτῃ, τοῦ Προδρόμου

### Ἦχος β΄ Τὰ ἄνω ζητῶν

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Ἦχος Δι



## 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄

## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
## ΤΡΙΤΗ ΚΒ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 2:20-23;3:1-3

Ἀδελφοί, εἰ ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων; ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκίᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

Ἀλληλούϊα    Ἦχος β΄

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Ἕτερον.
Σοι οι οι οι οι Κυ ρι ε
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος



# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

Ἦχος λ τος




Ἦχος Πα
Α α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

## Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα



η μω ω ων Δ προς ερ γα σι ι ι αν τω

ω ω ων ε εν τοο ο λω ω ω ων σου π

πρε σβει ει αις της πα να χρα αν του ου ου

σου ου Μη η η τρος χ και πα αν τω ων

σου ου των Α γι ω ω ων α μην Δ

## Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

### Ἦχος Νη




### Ἦχος Πα



# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

## Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

Εἰς Μνημόσυνον...

Κωνσταντίνου Πρίγγου

Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.



# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'



## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…




αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

Εἴη τό ὄνομα...

Ἦχος Δι

Ἀ α μην Εἰ η το ο νο μα Κυ ρι
ου ευ λο γη με νον α πο του νυν και ε
ως του αι ω νος ( Δίς )

Το ο νο μα Κυ ρι ου ει η ευ λο
γη με ε νον α πο του νυν και ε ως του
αι ω ω ω νο ο ος

Τόν Εὐλογοῦντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η


Ἦχος Βαρύς Ζω
Με Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε

# 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'



## Θεοτοκία εἰς ἦχον Βαρὺν
## Μὴ καταπιστεύσεις με

Ἦχος Βαρὺς Ζω



μυ θι ι ι αν ουκ ε χω πλη η ην σου Δε ε

σποι να του κο ο ο σμου ελ πις και προ στα

σι ι α των πι στων μη μου πα ρι ι δης

την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η

σον

## 19-11-2024 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ'

### Μεταβολή τῶν θλιβομένων

### Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.